Ἐκεῖνος μὲν γὰρ ὁρμᾶται ἀπὸ τοῦ ἐπ' ἄπειρον διαιρετοῦ τοῦ ὄντος, οὗτος δὲ ἐν μὲν τῷ πρώτῳ μέρει — τῷ ἄπειρα εἶναι τὸ πλῆθος τὰ πολλὰ — ἀπὸ τοῦ ἐπ' ἄπειρον διαιρετοῦ τοῦ χώρου, ὁ Ῥίττερος ὀρθῶς παρετήρησεν, ἐν δὲ τῷ δευτέρῳ — τῷ ἄπειρα τὸ μέγεθος εἶναι τὰ πολλὰ — ἀπὸ τῆς κατ' ὄγκον ἢ κατὰ μέγεθος διαφορᾶς τῶν πολλῶν. Ἐκεῖνος μὲν χωρεῖ διχοτομῶν αὐτὸ τὸ ὄν, οὗτος δὲ τὸν μεταξὺ τῶν ὄντων χῶρον. Ὁ μὲν περὶ τοῦ ὄντος πραγματεύεται, ὁ δὲ περὶ τῶν πολλῶν. Ἐκεῖνος μὲν ὡς ἀμερὲς ἔσται καὶ ἓν τὸ ὂν ἀποδεῖξαι βούλεται, οὗτος δὲ ὡς ἅμα πεπερασμένα καὶ ἄπειρα τὸ πλῆθος ἔσται τὰ πολλὰ καὶ ἅμα ἄπειρά τε τὸ μέγεθος καὶ μηδὲν ἔχοντα μέγεθος, ἤτοι τὴν ἀντίφασιν τῆς τῶν πολλῶν δόξης· κοινὸν δ' ἀμφοτέροις ἐστὶ τοῦτο μόνον, μηδὲν ἔχειν τὰ ὄντα μέγεθος. Ἀλλ' ἔστι καὶ ἐνταῦθα διαφορά· ἐν μὲν γὰρ τῷ ἑτέρῳ δείκνυται τὰ πολλὰ μηδὲν ἔχειν μέγεθος, ἐν δὲ θατέρῳ τὰ τοῦ ὄντος ἔσχατα μεγέθη, ἄτομα. Οἰόμενος δὲ Σιμπλίκιος τὸν παρὰ Πορφυρίῳ λόγον ἐν τῷ Ζήνωνος συγγράμματι ἀνευρηκέναι καὶ τὸν αὐτὸν ἀμφοτέρους ὑπολαμβάνων οὐκ ὀρθῶς ἄρα οἴεται. Πότερον δὲ Ζήνωνι ἀποδοτέος ὁ λόγος ἢ Παρμενίδῃ ἑτέρας ἐστὶ ζητήσεως (1).

Καὶ Βράνδης ἄρα ἕτερον κατασκευάζει ἐκ τοῦ παρὰ Πορφυρίῳ καὶ τοῦ περὶ ἀπείρων τε καὶ πεπερασμένων ἴδιον λόγον οὐδὲ τῆς ἐλαχίστης τὸν προκείμενον ἀξιῶν προσοχῆς, πλὴν ὅτι τὸ κείμενον ἐν ὑποσημειώσει παρατίθεται. Ἐπιχειρεῖ δὲ ὧδε· τὰ πολλὰ ὡς μὲν ἐπ' ἄπειρον διαιρετὰ ἀπείρως ἔσται μικρά, ὡς δ' ἐξ ἀπείρων μερῶν συνεστῶτα ἄπειρα ἔσται τὸ μέγεθος.

(1) Πρβλ. Brandis ἔνθ. ἀν. I, 412. Zeller, I, 541, 1.

Ε.Υ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

*Τῆς αὐτῆς ἐστι γνώμης καὶ Ἔρδμαννος γράφων* (Geschichte der Philosophie I, 38. 3 Aufl.) auch unendlich gross, weil unendlich Vieles enthaltend, und unendlich klein, weil aus lauten kleinsten bestehend, werde das Viele sein· *ἤτοι «καὶ ἄπειρα μὲν τὸ μέγεθος εἴη ἂν τὰ πολλά, ὡς δὴ ἀπείρως πολλὰ ἐνέχοντα, ἀπείρως δὲ μικρὰ ὡς ἐξ ὅλως σμικροτάτων συνεστῶτα».*

*Ὁ δ' ἐμὸς καθηγητὴς Τσέλλερος τὸ μὲν ἕτερον τοῦ λόγου μέρος — «μικρὰ ὥστε μὴ ἔχειν μέγεθος» — ἔξωθεν, ὡς ἐν ἀρχῇ εἴρηται, κατασκευάζει, ἐκ δὲ τοῦ προκειμένου τὸ ἕτερον μόνον λαμβάνει μέρος — «μεγάλα ὥστε ἄπειρα εἶναι τὸ μέγεθος» — ὧδε τὸ κείμενον ἀποδιδούς.* «Andererseitz aber müssen diese theile (des Vieles) auch *unendlich gross* sein. Denn da dasjenige, was keine Groesse hat, nicht ist, so müssen die Vielen, um *zu sein*, eine Groesse haben, ihre Theile müssen mithin von einander entfernt sein, d. h. es müssen andere Theile zwischen ihnen liegen. Von diesen gilt aber das Gleiche : auch sie müssen eine Groesse haben und durch weitere von den andern getrennt sein, und sofort ins unendliche, so dass wir demnach unendlich viele Groessen, oder eine unendliche Groesse erhalten»· *ἤτοι. ('Ετέρωθεν δὲ τὰ μέρη ταῦτα (τῶν πολλῶν) ἄπειρα τὸ μέγεθος δεῖ εἶναι. Ἐπεὶ γάρ, ὃ μηδὲν ἔχει μέγεθος, οὐδ' ἔστι, δεήσει τὰ πολλά, ἵν' ὑπόστασιν λάβῃ, μέγεθός τι ἔχειν, τὰ μόρια αὐτῶν ἀπ' ἀλλήλων ἀπέχειν· τοῦτ' ἔστιν ἕτερα μεταξὺ κεῖσθαι. Καὶ περὶ τούτων δὲ ὁ αὐτὸς λόγος· καὶ ταῦτα μέγεθος ἀνάγκη ἔχειν καὶ ἑτέροις τῶν ἄλλων κεχωρίσθαι, καὶ οὕτως ἐπ' ἄπειρον· ὥστε ἡμᾶς κατὰ ταῦτα ἀπείρως πολλὰ μεγέθη, ἢ ἄπειρον μέγεθος ἔχειν).*

*Πρῶτον τὸ* ihre Theile müssen u. s. w. *(ἀνάγκη τὰ*

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*μόρια αὐτῶν ἀ. ἀ. ἀ.) ἐστὶ τὸ αὐτὸ καὶ τὸ «ἀεὶ ἕτερα μεταξὺ τῶν ὄντων ἔστι καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ», οὐχὶ δὲ τοῦ προκειμένου· εἶτα τὸ* so das wir u. s. w. *(ὥστε ἡμᾶς κ. τ. ἀ. κτλ.) ἔχοι μὲν ἂν ὀρθῶς ἀναφερόμενον εἰς τὰ ἄτομα* ἑ ν ὸ ς *ὄντος, οὐκ ἀκολουθεῖ δέ, εἰ ἀνάγεται εἰς τὰ πολλά· ἀπὸ γὰρ* unendlich viele Grossen *(ἀπείρως πολλῶν μεγεθῶν) τότε καὶ μόνον* eine unendliche Groesse erhalten *(ἄπειρον μέγεθος ἔχειν) δυναίμεθ' ἄν, εἰ τὰ ἄπειρα ταῦτα μεγέθη ὡς μέρει ἑνός τινος ὑπολάβοιμεν.*

*Ἐκ τῶν μέχρι τοῦδε εἰρημένων δῆλον, ὡς οἶμαι, γίνεται, ὅτι πάντες οἱ προμνημονευθέντες ἄνδρες, ἕν τι ὂν ἐν νῷ ἔχουσιν, ὃ διχοτομοῦντες μὲν εἰς ἄπειρα τὸν ἀριθμὸν ἐλάχιστα μέρη καταλήγουσι καὶ οὕτω πορίζονται τὸ συμπέρασμα, τὰ ὄντα εἶναι μικρὰ ὥστε μὴ ἔχειν μέγεθος, συντιθέντες δὲ πάλιν τὰ ἄπειρα ταῦτα τοῦ ὄντος μέρη λαμβάνουσι τὸ ὂν ἄπειρον τὸ μέγεθος.* **Καὶ** *ὅτι μὲν ἀπὸ τοῦ πολλάκις ἤδη μνημονευθέντος λόγου, τοῦ παρὰ Πορφυρίῳ, εἰς τὸ πόρισμα τοῦτο κατέληξαν, ἁπλῆ παραβολὴ οὐδεμίαν καταλείπει ἀμφιβολίαν· ὅτι δὲ πάλιν οἱ εἰρημένοι λόγοι ἕτεροί εἰσι καὶ διάφοροι τοῦ προκειμένου, ἡμεῖς τε τοῦτο ἐν σελ. 80 ὑπεμνήσαμεν καὶ τὰ κείμενα αὐτὰ παραναγιγνωσκόμενα μαρτυρήσει. Ἀλλὰ πῶς, ἔροιτο ἄν τις, τὸν λόγον τοῦτον πραγματευόμενοι πάντες ἐν σιγῇ αὐτὸν παρορῶσι; διὰ τὸ μηδένα παρέχειν, ὡς νῦν φέρεται, νοῦν, ἣν μή τις αὐτῷ ἔξωθέν ποθέν τινα ἐνθῇ. Ἄγε δὴ πειραθῶμεν νῦν τὴν τοῦ χωρίου νόσον ὑποδεῖξαι καὶ τὴν καθ' ἡμᾶς ἰατροὺς ἴασιν ἐπενεγκεῖν.*

*Τὴν τοῦ χωρίου κατανόησιν διτταὶ κωλύουσι δυσχέρειαι, τοῦτο μὲν* γ ρ α μ μ α τ ι κ α ί, *τοῦτο δὲ* λ ο γ ι κ α ί.

*Α'.* **Γραμματικαί.** *Ἡ ἀντωνυμία ἕκαστος (στίχ. 12*

Ε.Σ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

σελ. 79) ἐπὶ πολλῶν λεγομένη πάντῃ ἀναρμόστως κέοιτο ἄν, εἰ τὴν λέξιν **ὄν**, ἑνικοῦ δῆλον ὅτι ἀριθμοῦ, ὡς ὑποκείμενον τοῦ «εἰ δὲ ἔστιν» (στίχ. 12.) ὑπονοεῖν βουλοίμεθα. Ἕτερον οὖν τῶν δύο ἢ τὸ ἕκαστον κεῖται ἐσφαλμένως, ὅπερ οὐ πιθανὸν, ὡς τὸ εὐθὺς κατωτέρω ἐπιφερόμενον (στίχ. 13.) «τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου» δείκνυσιν, ἢ ἀντὶ ἑνικοῦ ἀριθμοῦ **ὂν** πληθυντικοῦ **ὄντα** ἀπὸ κοινοῦ νοητέον· καὶ τὸ μικρῷ πρότερον (στίχ. 11.) «εἰ μὴ ἔχει μέγεθος τὸ ὂν» εἰς πληθυντικὸν μετατρεπτέον ἀριθμόν, «εἰ μὴ ἔχει μέγεθος τὰ ὄντα». Ὅτι δὲ τὴν ἀρχὴν πληθυντικῷ ἦν ἐξενηνεγμένον ἀριθμῷ, ἡ δὲ μετατροπὴ εἰς ἑνικὸν ἀπὸ τοῦ ἑνικοῦ ἀριθμοῦ τῶν ῥημάτων «**ἔχει**» καὶ «**εἴη**» προῆλθε, βοᾷ τὸ πᾶν χωρίον. Καὶ γὰρ ἀπ' ἀρχῆς μέχρι τέλους περὶ πολλῶν καὶ ἀπείρων ὁ λόγος.

«Ἐν μέντοι τῷ συγγράμματι αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήματα καθ' ἕκαστον δείκνυσιν, ὅτι τῷ πολλὰ εἶναι λέγοντι συμβαίνει τὰ ἐναντία λέγειν· ὧν ἕν ἐστιν ἐπιχείρημα, ἐν ᾧ δείκνυσιν, ὅτι εἰ **πολλά** ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά· μεγάλα μὲν κτλ.(1)

« Εἰ **πολλά** ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα » ἐστὶ καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα· » εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, πεπερα» σμένα ἂν εἴη· «καὶ πάλιν»· εἰ **πολλά** ἐστιν, » ἄπειρα **τὰ ὄντα** ἐστίν· ἀεὶ γὰρ ἕτερα με» ταξὺ **τῶν ὄντων** ἐστὶ καὶ πάλιν ἐκείνων ἕτε» ρα μεταξύ· καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί». Καὶ οὕτω μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε, τὸ δὲ κατὰ μέγεθος πρότερον

(1) Σιμπλ. ἔνθ. ἀν. 30, α, μέσ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*10. (ἄπειρον;) κατὰ τὴν αὐτὴν ἐπιχείρησιν· προδείξας*
*11. γὰρ ὅτι εἰ μὴ ἔχει μέγεθος τὸ ὂν (γρ. ὄντα), οὐδ'*
*12. ἂν εἴη* (¹), *ἐπάγει· (τὰ λοιπὰ ἐν σελ. 79).*

Τὸ ὅλον ἄρα **χωρίον** βοᾷ πληθυντικῶς δεῖν τὸ ὄνομα κεῖσθαι· περὶ **πολλῶν** γὰρ ὁ λόγος καὶ οὐ περὶ ἑνός. Καὶ ἡ Ζήνωνος δὲ πρόθεσις τὰ πολλά ἐστιν ἀνελεῖν, καὶ ταύτῃ τὸν **Παρμενίδου** λόγον βεβαιῶσαι οὐ τῷ προκειμένῳ μόνον ἀλλὰ καὶ πᾶσι τοῖς αὐτοῦ λόγοις (²). Οὐ μόνον δὲ τὰ ἤδη ἀνωτέρω παρατεθέντα, ἀλλὰ καὶ τὰ ἐπακολουθοῦντα «τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου» (σελ. 79. στίχ. 13) καὶ τὸ συμπέρασμα «οὕτως εἰ **πολλά** ἐστιν, ἀνάγκη αὐτὰ μεγάλα καὶ μικρὰ εἶναι κτλ. (σελ. 80. στίχ. 18) σαφῶς μαρτυρεῖ ὅτι πληθυντικῶς **ὄντα** (³) γραπτέον. Τούτου γενομένου τὸ εὐθὺς ἐπιφερόμενον αὐτοῦ (σελ. 79, στίχ. 13: ἀπέχειν αὐτοῦ τὸ ἕτερον τοῦ ἑτέρου) οὐχ οἷόν θ' ἑνικοῦ εἶναι ἀριθμοῦ, ἀλλὰ πληθυντικοῦ αὐτῶν, εἰ νοῦν τινα τὸ χωρίον ἔχειν μέλλει.

Τὴν δὲ φράσιν «ἀπέχειν αὐτοῦ τὸ ἕτερον τοῦ ἑτέρου» (στίχ. 13, 14) πῶς νοητέον; Ποῖον ἐνταῦθα τὸ ἕτερον; Ἡ λέξις οὕτως ἀπολύτως ἐκφερομένη προϋποτίθησιν, ὅτι πρότερον περὶ πολλῶν ἦν ὁ λόγος. Τὰς λέξεις μόριον, ἄτομον ἤ τι τοιοῦτον ἀπὸ κοινοῦ λαβεῖν οὐκ ἔξεστι διὰ τὸ μὴ εἶναι ὅλως ἐν τῇ προτάσει τοιαύτην τινὰ λέξιν, εἰς ἣν ἂν τὸ «ἕτερον» ἀναχθῆναι δύναιτο. Ἡ φράσις λελυμένη οὕτω τῶν συμφραζο-

(1) Σιμπλ. αὐτόθι φύλλ. 30, 6.

(2) Πλατ. Παρμ. σελ. 128. Zeller αὐτόθι I, 539.

(3) Καὶ οἱ τοῦ χωρίου ἑρμηνευταὶ πληθυντικῶς νοοῦντες τὴν λέξιν φαίνονται. Ὁ Τσέλλερος γράφει die Vielen ἐν τῷ παρατεθέντι ἀποσπάσματι· ἔπιθι καὶ τὰ τῶν ἄλλων ἀποσπάσματα σελ. 81 κ.ἑφ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*μένων ἐκφερομένη μονῆρες ἂν εἴη ἐν τῇ ἑλληνικῇ γλώσσῃ παράδειγμα.*

*Πρὸς δὲ τούτοις πῶς τίθεται τὸ « ἀ π έ χ ε ι ν » (σελ. 79. στίχ. 15) συνωνύμως τῷ « π ρ ο έ χ ε ι ν » (στίχ. 14) καὶ « π ρ ο έ ξ ε ι ν » (στχ. 16); Τὴν διαφορὰν ταύτην ἐξισῶσαι βουλόμενος ὁ καθηγητὴς Τσέλλερος ἡρμήνευσε τὸ « π ρ ο έ χ ο ν » (στχ. 14)* **μεταξὺ κείμενον καὶ χωρίζον** (1)· *τὸ δὲ ῥῆμα οὐκ ἔχει τοιαύτην σημασίαν. Εἰ δέ τις προβάλοιτο τὰ παραδείγματα «τὴν ἀσπίδα τῆς κωλῆς προέχων» 'Αρ. Νεφ. 976. «τὼ χεῖρε προέχων» Ξεν. Κ. Π. 2, 3, 10. «πρὸ δὲ δοῦρατ' ἔχοντο» ΙΛ. 15, 355. «προὔχοντο ἑκάστοθι ἐννέα ταύρους» 'Οδ. 3, 8, οὐδὲν ἂν ὠφελοίη εἰς τὸ προκείμενον, ὅτι ἐν τοῖς καταλεχθεῖσι παραδείγμασι τὸ ἐνεργητικὸν ἢ μέσον παρείληπται, ἐν δὲ τῷ προκειμένῳ χωρίῳ τὸ ἀμετάβατον, ὡς ἐν τοῖς ἑξῆς παραδείγμασιν· «ἀκροτάτῃ προέχ' ἀκτῇ» 'Οδ. 12, 11 πρβλ. 10, 90, 24, 82. «πύργῳ ἐπὶ προὔχοντι» 'Ιλ. 22, 97. «ἐπὶ προὔχοντι μελάθρῳ» 'Οδ. 19, 544. «τὸ προέχον τῆς ἐμβολῆς» Θουκ. 2, 76. «ὁ Μασιστίου προὔχων τῶν ἄλλων ἵππος» 'Ηρ. 9, 22. «τὸν προὔχοντα δοκεύει» 'Ιλ. 23, 325. «δίκαιον τὸν προέχοντα τάττειν τὴν ἀξίαν» 'Αριστ. 1164, b, 9. «οὐδὲν ἀπηρτημένον οὐδὲ προέχον ἡ σφαῖρα ἔχει»—290, β, 6. «Πάντες περὶ ὧν φοβοῦνται μὴ ἄλλως ἀποβῇ, πολλῷ τῷ ἀσφαλεῖ προέχειν πειρῶνται» 1504, β, 24. «δυνάμει προὔχοντες» Θουκ. 1, 18. «οἱ προὔχοντες βίοι» 'Αριστ. καὶ ἁπλῶς οἱ προὔχοντες Καὶ ἐν* **'Αριστοτέλους** *δὲ Φυσ. Ζ, 9, 239, β, 14 « . . . . . . τὸ βραδύτε-*

(1) Zeller, αὐτόθι I, 542, 1. Unter dem προέχον verstehe ich das, was vor einem andern vorliegt und es dadurch von einem dritten entfernt haelt.

Ε.Τ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

ρον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον, ὅθεν ὥρμησε τὸ φεῦγον, ὥςτ' ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον»· καὶ (αὐτόθι 26) «τὸ δ' ἀξιοῦν ὅτι τὸ προέχον οὐ καταλαμβάνεται, ψεῦδος· ὅτε γὰρ προέχει, οὐ καταλαμβάνεται», οὐ κεῖται τὸ προέχειν=τῷ ἀπέχειν ἢ πρὸ ἄλλου κεῖσθαι καὶ χωρίζειν, ἀλλὰ πλεονεκτεῖν κατὰ τὴν ὁδὸν, πρότερον εἶναι ἐν τῇ ὁδῷ, πλέον ἔχειν. Ταῦτα καὶ πλεῖστ' ἄλλα παραδείγματα δείκνυσιν ἀπαράδεκτον οὖσαν τὴν εἰσηγουμένην τοῦ προέχειν σημασίαν.

Καὶ ταῦτα μὲν περὶ τῶν γραμματικῶν δυσχερειῶν.

Β'. **Λογικαὶ** δὲ τοῦ χωρίου δυσχέρειαί εἰσι πρώτη ἡ καὶ πρότερον μνημονευθεῖσα ὅτι οὐχὶ ἀμέσως περὶ τοῦ ἑνὸς ὄντος, ὥσπερ ὁ διδάσκαλος αὐτοῦ Παρμενίδης, διαμάχεται Ζήνων, ἀλλ' ἐμμέσως περὶ τῶν πολλῶν φιλοσοφῶν καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ αὐτὰ ἀναιρῶν (1). Δεύτερον δέ, ὡς νῦν τὸ χωρίον ἑρμηνεύεται, ἀποδείκνυται οὐχὶ τὸ κατὰ μέγεθος ἄπειρον τῶν πολλῶν, ἀλλὰ τὸ κατὰ πλῆθος, ὅπερ Ζήνων πρότερον ἑτέρῳ ἐπιχειρήματι ἀπέδειξεν (2). Εἰ δὲ καὶ Ζήνων οὐκ ἀπηξίου σοφιστικοῖς χρῆσθαι συλλογισμοῖς, ὡς ὁ τὴν κίνησιν ἀναιρῶν τέταρτος αὐτοῦ λόγος δείκνυσιν, ὅμως ἑνὶ ἐπιχειρήματι διάφορα πράγματ' ἀποδεῖξαι βούλεσθαι οὐ πρὸς τοῦ Ἐλεατικοῦ ἐστι Παλαμήδους, τοῦ τῆς διαλεκτικῆς εὑρετοῦ (3). Τούτοις γὰρ οὐδὲν ἂν ἧττον ἠξίου Ζήνων ἢ πεῖσαι τοὺς ἑαυτοῦ ἀκροατὰς ἀ-

(1) Πλάτ. Παρμ. σ. 127 Ε, 128, Φαίδρ. σελ. 261 Ε. Σιμπλ. ἔνθ. ἀν. φύλλ. 30, 6.

(2) Σελ. 88. στχ. 4—9.

(3) Διογ. IX, 25.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ποδέξασθαι τὸν αὐτὸν λόγον ἀμφότερα ἀποδεικνύναι τό τε ἄπειρον τὸ πλῆθος καὶ τὸ ἄπειρον τὸ μέγεθος.

Γ'. Τὸ ἀπέχειν οὔθ' ὡς ὁ Ῥίττερος (1) νοῆσαι δυνάμεθα διὰ τὸ προϋποτίθεσθαι ἕν τι, οὗ τὰ μέρη δι' ἄλλων μεταξὺ κειμένων χωρίζονται, ἑπομένως διὰ τὸ τῷ ἐπ' ἄπειρον τῶν μερῶν χωρισμῷ ἄπειρα τὸν ἀ ρ ι θ μ ὸ ν μέρη τοῦ ἑνὸς τούτου συλλογίζεσθαι, ὃ οὐ βούλεται Ζήνων ἐνταῦθα· οὔθ' ὡς ὁ Ἕγελος (1), παρ' ᾧ ἐπανάστασις νοημάτων συμβαίνει. Ὁ τοῦ Ἑγέλου νοῦς ἐστὶ βεβαίως, ὅτι τὰ ὄντα κεῖται ἐκτὸς ἀλλήλων καὶ ἔστι πρὸς ἄλληλα ἐν ἀποστάσεως σχέσει, ἀλλὰ τὰ γράμματα οὐ παρέχει τὸν τοῦ Ἑγέλου καθαρὸν νοῦν. Τί δὲ σημαίνει von dem Weiteren (περὶ τοῦ προὔχοντος) gilt dasselbe u. s. w. (περὶ τοῦ περαιτέρω τὸ αὐτὸ λεκτέον κτλ.); Παρακατιὼν ἑρμηνεύει τὴν αὐτὴν λέξιν « π ρ ο έ χ ε ι ν » in ihm gegen einander Verschiedenes sein (ἐν αὐτῷ διάφορα ἀλλήλοις ὑπάρχειν). Ἐνταῦθα δῆλον πάλιν, ὅτι εἰς τὸ ἓν ἀνακάμψαι ἀναγκαζόμεθα καὶ ἀνατομὰς ἐν αὐτῷ ποιεῖν· ἀλλ' αἱ ἀνατομαὶ αὗται μόρια τοῦ ὄντος τὸν ἀ ρ ι θ μ ὸ ν ἄπειρα ἡμῖν ἂν παράσχοιεν καὶ οὐ τ ὸ μ έ γ ε θ ο ς, περὶ οὗ ἐνταῦθα πρόκειται.

Κατὰ τὴν Ἑγέλου ἀντίληψιν ἔχοιμεν ἂν ἐνταῦθα ὄν τι μέγεθος καὶ πάχος ἔχον, οὗ τὰ μέρη ἀπ' ἀλλήλων ἀπέχει· περαιτέρω ἄλλο τι ὅμοιον, οὗ τὰ μόρια ὁμοίως ἀφίσταται καὶ οὕτως ἐφεξῆς· ἀλλ' ἐκ τῆς ἀντιλήψεως ταύτης οὐδὲν ἄλλο ἀκολουθεῖν δύναιτ' ἂν ἢ πολλὰ εἶναι ὄντα, ἃ ἴδιον ἔχει τὸ μ ε ρ ι σ τ ὰ εἶναι.

Οὔτε πάλιν ὡς ὁ καθηγητὴς Τσέλλερος ἑρμηνεύει. Ὡς γὰρ εἴρηται τὸ ἀ π έ χ ε ι ν (= entfernt sein), «τί

(1) Ἐπιθι σελ. 82.
(1) Σελ. 81.

Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

γε μέσον ἴσον τῶν ἐσχάτων ἀπέσχεν» Πλατ. Παρμ. 145, B. «ἀποσχὼν τετταράκοντα στάδια τοῦ μὴ φθάσαι» Θουκ. 5, 3. «Ἑτέρα ἀφ' ἑτέρας σταδίους ἑκατὸν ἀπεῖχε» Πλατ. Κριτ. 178 D. «αἱ ὄχθαι ἀπὸ τοῦ ποταμοῦ τρία πλέθρα» Ξεν. Ἀναβ. 1, 3, 5, οὐχ οἷόν τε τῷ προέχειν συνωνύμως ληφθῆναι. Ἔπειτα δὲ καὶ ἢν τὸ προέχειν εἰς ἀπέχειν μεταβάλωμεν, ἕξομεν τὸ μὲν ἀντὶ δύο ἕνα μόνον Ζηνώνειον συλλογισμόν, τὸ δὲ τὰ μέρη τοῦ ὄντος ἢ τὰ ὄντα (ὁμολογηθέντος ὅτι ἐν τῷ «ἔ σ τ ι» πληθυντικὸν ἀριθμὸν ἀπὸ κοινοῦ νοητέον ἐστὶ) τῇ ἀπ' ἀλλήλων ἀποστάσει μόνον τὸν ἀ ρ ι θ μ ὸ ν ἄπειρα. Ὁ δὲ περὶ τοῦ ἀπείρου τὸ μ έ γ ε θ ο ς λόγος, ὃν οἱ ἑρμηνευταὶ ἐν τούτῳ τῷ χωρίῳ ἀναγινώσκουσιν ἰδία αὐτῶν προσθήκη τυγχάνει.

Δ'. «Προέξει αὐτοῦ τι» (στίχ. 16) οὐδὲν ἄλλο σημαίνειν δύναται, τεθέντος τὸν ἑνικὸν ἀριθμὸν ὀρθῶς ἔχειν, ἢ ὅτι τοῦ ὄντος προέξει ἕτερόν τι· τοῦτο δὲ τὸ ἕτερον οὐ δυνάμεθα νοῆσαι ἐν τῷ ὄντι ὡς μόριον ἢ ἄτομον ἐγκεκλεισμένον, ὡς ἐν τῷ Ἐμπεδοκλέους σφαίρῳ· οὐ δύναται γὰρ τοῦ ὅλου τὸ μέρος προέχειν ὡς δηλοῖ ἂν τὸ χωρίον, εἰ οὕτω λαμβάνοιμεν. Τὸ ἕτερον νοητέον ἄρα ὡς χωριστόν τι καὶ ἐκτὸς τοῦ ὄντος· οὕτω δὲ κατ' ἀνάγκην ἀγόμεθα εἰς τὴν ἔννοιαν τῶν πολλῶν καὶ ἀπ' ἀλλήλων χωριστῶν. Οὐ τοίνυν ὄν, οὗ τὰ μέρη, ὡς ἀπ' ἀλλήλων ἀπέχοντα, ἄπειρα τὸ μέγεθος νοητέον, ἀλλ' ὄντα πολλά, ἅπερ, ἅτε πολλά, ἀλλήλων προέχει καὶ τὰ τῶν ἄλλων προέχοντα πάλιν ἀλλήλων καὶ οὕτως ἐπ' ἄπειρον· ὥστε ἡ τοῦ ἐπιχειρήματος δύναμις κεῖται οὐκ ἐν τῷ χωρίζοντι τὰ τοῦ ὄντος μόρια χώρῳ, ὃν ὑπ' ἀπείρων σωμάτων δυνατὸν καταλαμβάνεσθαι, ἀλλὰ μᾶλλον ἐν τῇ διαφορᾷ τοῦ μεγέθους, τοῦ ὄγκου, καὶ τῇ πληθύϊ τῶν ὄντων· καὶ γὰρ ἐξ ἐκείνου μὲν τὸ ἄπειρον

Ε.Γ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

κατὰ τὸν ἀριθμὸν ἔποιτ' ἄν, οὐχὶ τὸ κατὰ τὸ μέγεθος ἄπειρον, ὃ Ζήνων βούλεται δεῖξαι.

Ἐκ τούτων σαφῶς ὁρῶμεν, ὅτι οὐδὲν ἀξιόλογον νοῦν ὡς ἔχει νῦν τὸ χωρίον παρέχει. Καὶ ὅτι μὲν ἐν στίχῳ (12). «Εἰ δ' ἔστιν» οὐχὶ ἑνικόν, ἀλλὰ πληθυντικὸν ἀριθμὸν «ὄντα» ἀπὸ κοινοῦ ληπτέον, ἐκ τῶν πρότερον εἰρημένων δῆλον, οἶμαι, γέγονεν. Ὀφείλομεν ἄρα καὶ τὰ ἐν στίχῳ 13 (ἀπέχειν αὐτοῦ) καὶ 17 (οὐδὲν γὰρ αὐτοῦ) εἰς πληθυντικὸν μετατρέψαι ἀριθμόν, ἅτε δὴ ἐκ τῶν ῥημάτων ἔχει (στίχ. 11), εἴη ἔστιν (στίχ. 11. 12) ἕξει (στχ. 15), προέξει (στχ. 16) προελθόντα. Ὅτι δὲ προέχειν καὶ οὐχὶ ἀπέχειν ἡ ἀληθής ἐστι γραφὴ δῆλον ἐκ τῶν ὀλίγῳ κατωτέρω ἐπὶ τῆς αὐτῆς ἐννοίας κειμένων «προὔχοντος» καὶ «προέξει». Τὴν πρόθεσιν πρὸ εὔκολον ἦν εἰς τὴν ἀπὸ μεταπεσεῖν· οἷαι δ' ἀνταλλαγαὶ τῶν προθέσεων ἐν τοῖς ἀντιγράφοις συμβαίνουσι, γιγνώσκουσι πάντες, ὅσοι καὶ ἄκρῳ τῆς διορθωτικῆς ἥψαντο δακτύλῳ.

Ἡ ἀληθὴς τοίνυν καθ' ἡμᾶς τοῦ χωρίου γραφὴ ἔσται «....προδείξας γὰρ ὅτι εἰ μὴ ἔχει **τὰ ὄντα** μέγεθος, οὐδ' ἂν εἴη, ἐπάγει· εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τε ἔχειν καὶ πάχος καὶ **προ**έχειν αὐτ**ῶν** τὸ ἕτερον (ἀπὸ) τοῦ ἑτέρου· καὶ περὶ τοῦ προὔχοντος ὁ αὐτὸς λόγος· καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι. Ὅμοιον δὲ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐ **ὧν** τοιοῦτον ἔσχατον ἔσται οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. Οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι».

Τῇ μικρᾷ ταύτῃ μεταβολῇ κτώμεθα, ὡς ἡμῖν δοκεῖ, νέον ἐν τῇ ἱστορίᾳ τῆς Ζήνωνος φιλοσοφίας ἐπιχείρημα ἀποκαθιστάντες τὸν ἀληθῆ Ζηνώνειον κατὰ τῶν πολ-

Ε.Γ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

λῶν λόγον. Εἰ δὲ ἔστι τὰ πολλά, ἀνάγκη, φησὶ Ζήνων, ἕκαστον τούτων μέγεθός τι ἔχειν καὶ πάχος καὶ προέχειν αὐτῶν τὸ ἕτερον τοῦ ἑτέρου, ἤτοι τῷ μεγέθει, τῷ ὄγκῳ διάφορα εἶναι· καὶ ἄλλα μὲν μείζονα καὶ προέχοντα, ἄλλα δὲ ἐλάσσονα καὶ λειπόμενα εἶναι. Καὶ ἐν τοῖς προέχουσι δὲ ἔσται μεγέθους διαφορά, ἅτε δὴ πολλοῖς οὖσι. Τοῦτο δ' ἔστιν ἐπ' ἄπειρον λέγειν. Εὑρήσομεν ἄρα τῇ ἀεὶ ἀποκρίσει (διχοτομίᾳ) τῶν μεγέθει προὐχόντων ἀπὸ τῶν λειπομένων καὶ τἀνάπαλιν ἄπειρα τό τε μέγεθος καὶ τὴν σμικρότητα ὄντα. Ἐκ μὲν γὰρ τῶν πολλῶν ἀεὶ τὰ προέχοντα συγκρίνοντες καὶ χωρίζοντες ἕξομεν ἄπειρα τὸ μέγεθος· «οὐδὲν γὰρ αὐτῶν τοιοῦτον ἔσχατον ἔσται». Τὴν ἐναντίαν δὲ ταύτῃ βαίνοντες ὁδὸν εὑρήσομεν τοσοῦτον σμικρά, ὥστε μηδὲν ἔχειν μέγεθος (1)· οὐ γὰρ ἔσται ποτὲ δυνατὸν μὴ εἶναι ἕτερον πρὸς ἕτερον. «Οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι».

Μόνην δ' ἂν ἴσως ἀντίρρησιν πρὸς ταῦτα προβάλοι τις τὸ ἐν στίχῳ 9 (σελ. 88) φερόμενον «τὸ δὲ κατὰ μέγεθος πρότερον (ἄπειρον;) κατὰ τὴν αὐτὴν ἐπιχείρησιν» (διχοτομίαν δῆλον ὅτι) Ἀληθῶς τῷ λόγῳ, τῷ περὶ τῶν ἀπείρων τὸ μέγεθος ὄντων, οὐκ ἐφαρμόζει κυριολεκτικῶς ἡ λέξις διχοτομία. Ἀλλὰ δεῖ ἐνθυμεῖσθαι, ὅτι Σιμπλικίου ἡ κρίσις αὕτη· παρ' αὐτῷ δὲ ἡ λέξις οὐκ ἔχει τὴν αὐτὴν ἀκριβῶς σημασίαν, ἣν παρ' Ἀριστοτέλει καὶ Πορφυρίῳ. Παρὰ μὲν τούτοις ὡς ἐπὶ τὸ πολὺ (2)

(1) Τὸ δεύτερον τοῦτο ἀποδείκνυται καὶ τοῖς παρὰ Πορφυρίῳ, Θεμιστίῳ, Εὐδήμῳ καὶ Σιμπλικίῳ ἀναγιγνωσκομένοις, ὃ καὶ τοὺς εἰρημένους συγγραφεῖς παρήγαγε τὸν παρόντα λόγον δι' ἐκείνων ἐξηγήσασθαι. Τὰ χωρία παρατίθησι Τσέλλερος I, 541. 1.

(2) Καὶ Ἀριστοτέλης δὲ χρῆται τῇ λέξει γενικώτερόν πως πρβλ. Φυσ. Z, 9. 239, 6, 18.

Ε.Υ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2008

*σημαίνει τὴν εἰς δύο διαίρεσιν ἑνὸς ὄντος καὶ πάλιν τὴν ἑκατέρου τῶν μερῶν καὶ οὕτως ἐφεξῆς* [1]· *παρ' ἐκείνῳ δὲ γενικώτερόν πως τὸν ἀπ' ἀλλήλων χωρισμὸν τῶν σωμάτων δι' ἄλλων μεταξὺ κειμένων καὶ καθόλου τὴν ἐν διανοήσει διαίρεσιν. Οὕτω γενικῶς ληπτέα ἡ λέξις καὶ ἐν τῇ δευτέρᾳ προτάσει. Ἔστι δῆλον ὅτι διχοτομία κατὰ τοσοῦτον, ὅσον τὰ πολλὰ εἰς δύο ἀεὶ διαιρεῖται σωρούς, εἰς προέχοντα καὶ λειπόμενα τὸ μέγεθος· καὶ πάλιν ἑκάτερος τῶν σωρῶν εἰς μείζονα καὶ ἐλάσσονα καὶ οὕτως ἐφεξῆς.*

(1) Ἀριστ. Φυσ. I, 3. 187, α, 1. Ἀνάγν. καὶ σελ. 80. πρώτην σημείωσιν τῆς παρούσης πραγματείας.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ – ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ – ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

# ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ

| Σελίδι | Στίχῳ | Γράφε | Σελίδι | Στίχῳ | Γράφε |
|---|---|---|---|---|---|
| 9 | 9 κ. | ἐμψύχων | 46 | 7 κ. | εὕρῃς |
| — | 7 κ. | φαίνεται, | — | 2 κ. | τὴν δ'ἐπιςολὴν |
| — | 6 κ. | διενεργηθείσης. | 48 | 12 κ. | ἐξεπίτηδες |
| — | 5 κ. | ἰδίᾳ | 50 | 15 κ. | λέγων |
| 11 | 11 κ. | ἐκρίφθῇ, | 53 | 4 κ. | ἐξαντληθῇ |
| 15 | 8 κ. | ὄμματά τ' | 56 | 8 | οὐχ ἧττον |
| 16 | 7 | 'Εμπεδοκλῆς | — | 9 | αὐτῶν |
| 17 | 6 κ. | ἀλλήλων | 58 | 5 κ. | Βοναπάρτης |
| 18 | 8 κ. | μηδ' ὅτι | 59 | 4 | διϊσχυρισθῇ |
| 24 | 12 | τῷ | 61 | 4 | συνδιατάττει |
| 26 | 4 κ. | καταστροφῆς | 62 | 1 κ. | ὅτι |
| 27 | 15 κ. | ταύτισιν | — | — | χριστιανισμὸς |
| 30 | 10 κ. | φύσεως | 63 | 13 | ἀπαλλαχθῇ |
| 31 | 1 | σκόπιμοι | 71 | 8 | ἄγουσιν |
| — | 3 | 'Αριστοτέλης | 80 | 7 | (Erdmann), |
| — | 6 | περιπτώσεσιν | 90 | 10 | 988 |
| 34 | 2 κ. | χριστιανικῆς | — | 11 | δούρατ |
| 37 | 14 κ. | θεομανὴς | — | 16 | πρόεχ' |
| | ἀντὶ τοῦ θεοβλαβὴς | | — | 17 | 10,90 .....ἔπι |
| 40 | 3 κ. | τῆς | 93 | 1 | ἀπέχει |
| 43 | 14 κ. | ἱστορίᾳ | — | 4 | 118 |
| 46 | 2 | λέμβου | — | 5 | 4, 3, 5. |
| — | 9 | Οἱ | — | 3 | τεσσαράκοντα μά- |
| — | 19 | χρήζει | λιστα σταδίους μὴ φθάσαι. | | |

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝΑΠΛ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

## ΤΟΥ ΑΥΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ

---

Ἱστορία τῆς θεωρίας τῆς γνώσεως.—Α΄. τεῦχος
ἐν Ἀθήναις 1885............................ Δρ. 2,50

Σύνοψις τῆς ἱστορίας τῆς ἑλληνικῆς φιλοσοφίας
ἐν Ἀθήναις 1886............................ » 4.

Zwei Kapitel aus einer Monographie über
Nemesius und seine Quellen. Berlin 1882. » 1,50

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΙΩΑΝΝΙΝΩΝ
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008